«Παρ' ἡμῖν ἐπεκράτησεν ἡ γνώμη ὅτι ἀποτελοῦσι μὲν τὰ ἐκκλησιαστικὰ καὶ τὰ πολιτικὰ δύο διακεκριμένας ὄψεις ἑνὸς ὅλου, ἄλλως ἡνωμένου, ἀλλ' ὅτι, τῆς Ἐκκλησίας κειμένης ἐν τῷ κράτει, οὐχὶ δὲ τοῦ κράτους ἐν τῇ Ἐκκλησίᾳ, πάντες οἱ πιστοὶ ἀδιακρίτως, ὑπαγόμενοι ὑπὸ τὴν πολιτικὴν ἀρχήν, ὀφείλουσιν αὐτῇ ὑποταγὴν ἐν τοῖς κατὰ κόσμον πράγμασι, καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ τῇ κορυφῇ τῆς Χριστιανικῆς πολιτείας ἀνήκει τις δικαιοδοσία καὶ ἐπὶ τῶν θρησκευτικῶν, ὡς τε καθῆκον καὶ ὡς δικαίωμα, τὸ δικαίωμα καὶ ἡ ἐξουσία τοῦ ἀπὸ κοινῆς συνεννοήσεως καὶ ἐν κοινῇ συνεργασίᾳ μετὰ τῶν ἐκκλησιαστικῶν ἀρχῶν λαμβάνειν μέρος ἐνεργὸν εἰς τὴν διευθέτησιν τῶν θρησκευτικῶν καὶ ἐμπέδωσιν τῶν τῆς πίστεως κατὰ τὰ ἀρχῆθεν παραδεδομένα, μόνον δὲ ἀπεδοκιμάζετο καὶ προὐκάλει ἀντιρρήσεις καὶ ἐντόνους διαμαρτυρίας ὁ λεγόμενος καισαροπαπισμός, αἱ αὐτοκρατόρων τινῶν κυριαρχικαὶ ἀξιώσεις καὶ αὐτόβουλοι ἐπεμβάσεις εἰς τὴν διαχείρησιν καὶ διαρρύθμισιν καὶ τῶν καθαρῶς δογματικῶν καὶ ἐκκλησιαστικῶν ζητημάτων.» 14)

ΒΑΣΙΛΕΙΟΣ Θ. ΣΤΑΥΡΙΔΗΣ
Καθηγητὴς τῆς Ἱ. Θεολογικῆς Σχολῆς Χάλκης

13) Χριστιανικὴ Ἠθική, II, 242—267.

14) Χριστιανικὴ Ἠθική, II, 279.

Η ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΤΟΥ ΘΕΟΥ ΔΙΔΑΣΚΑΛΙΑ ΤΗΣ Κ. ΔΙΑΘΗΚΗΣ

ΕΙΣΑΓΩΓΗ

Ἡ ἰδέα περὶ τῆς βασιλείας τοῦ Θεοῦ σπουδαιοτάτην κατέχει θέσιν ἐν τῷ συστήματι τῆς Καινῆς Διαθήκης, ἀποτελοῦσα τὸ κυριώτατον δυνατὸν εἰπεῖν θέμα καὶ τὸν τελικὸν σκοπὸν τοῦ τε Εὐαγγελικοῦ καὶ τοῦ Ἀποστολικοῦ κηρύγματος.

Ἡ ἰδέα αὕτη δὲν ἦτο ξένη καὶ ἄγνωστος εἰς τοὺς συγχρόνους τῷ Κυρίῳ Ἰουδαίους. Ἤδη αὐτὸς ὁ Χριστὸς καὶ πρὸ αὐτοῦ ὁ Πρόδρομος Ἰωάννης ἤρξαντο τοῦ κηρύγματος αὐτῶν διὰ τῆς χαρμοσύνου καὶ θριαμβευτικῆς ἀγγελίας, ὅτι «ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν» (Ματθ. γ', 2 δ', 17). Εἰς τὸ φαιδρὸν δὲ τοῦτο καὶ εὐφρόσυνον ἄγγελμα οὐδὲν ἄλλο περαιτέρω πρὸς διασάφησιν αὐτοῦ ἐπισυνῆψαν, τοὐθ' ὅπερ ὑπεμφαίνει ὅτι ἀμφότεροι ὑπέθετον προϋπάρχουσαν τὴν ἰδέαν περὶ τῆς βασιλείας τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ τῶν ἀκροατῶν αὐτῶν. Ἡ ἱστορία δὲ ἐν γένει τοῦ Ἰσραὴλ καὶ τὰ ἄλλα προφητικὰ αὐτοῦ βιβλία μαρτυροῦσι τρανῶς, ὅτι ταῦτα πάντα ἀπέβλεπον κυρίως εἰς τὴν διαμόρφωσιν καὶ ἀνάπλασιν τρόπον τινὰ τῆς ἰδέας ταύτης ἐν τῷ ἠγαπημένῳ λαῷ τοῦ Θεοῦ Ἅπασαι αἱ προρρήσεις τοῦ Νόμου 1) καὶ τῶν Προφητῶν, τῶν θεοπνεύστων τούτων τῆς θείας προνοίας ὀργάνων, ἐπερρώννυον τὴν ἰδέαν τῆς ἐν λόγῳ βασιλείας καὶ τὴν πλήρωσιν τῶν ἑκάστοτε ὑπὸ τοῦ Θεοῦ δοθεισῶν τῷ λαῷ αὐτοῦ ἐπαγγελιῶν, καὶ τῆς ἐκ σπέρματος Ἀβραὰμ προελεύσεως τοῦ μεγάλου βασιλέως καὶ τῆς ἐνδόξου βασιλείας αὐτοῦ, 2) ἣν προεικόνιζον ἤτοι ἀμέσως καὶ ἀπ' εὐθείας ἢ ἐμμέσως καὶ τυπικῶς (πρβλ. Ψαλ. β', η', ιε', κ. ἑ. ν', 12, πη', ρθ', κ. ἑ. Ἡσ. β', 1—5 ζ', 14—17 ια', 1 κ. ἑ. Ὡσ. γ', 6, Ἱερ. λξ', (λ'), λα', κ. ἑ. Ἰεζ. λδ', 24 κ. ἑ. 3).

1) Νόμος κατ' ἐξοχὴν καλεῖται ἡ Πεντάτευχος, ἀλλὰ συνεκδοχικῶς καὶ ἅπασα ἡ Παλ. Διαθήκη (πρβλ. Ρωμ. γ', 19 α'. Κορ. ιδ', 21 Ἰωάν. ιε', 25).

2) Αἱ περὶ τῆς ἐλεύσεως τοῦ Μεσσίου προφητεῖαι ἦσαν γνωσταὶ καὶ αὐτοῖς τοῖς ἐθνικοῖς, καθὰ φαίνεται ἐκ τῆς προφητείας τοῦ Βαλαὰμ (πρβλ. Ἀριθμ. κδ', 5—18 καὶ Tacit. Annales V, 13 Sueton. Vespesian. 4—5. August. 94).

3) Ἔπιθι καὶ Ἰσιδ. Πηλουσ. ἐν Ἐπιστολῶν βιβλ. Δ'. 103.

Καὶ αὐταὶ δὲ αἱ ἐκφράσεις «βασιλεία τοῦ Θεοῦ» καὶ «βασιλεία τῶν οὐρανῶν», ἦσαν κατά τινας συνήθεις καὶ ἐν πολλῇ παρὰ τοῖς Ἰουδαίοις χρήσει καὶ πρὸ τῆς ἐλεύσεως τοῦ Κυρίου, ἀποτελοῦσαι τοὺς ὅρους τῆς Ἰουδαϊκῆς Θεολογίας· Τοῦτο δ' ὅμως φαίνεταί πως καὶ εἶναι ἀμφίβολον, καθόσον οἱ Ἰουδαῖοι, κατὰ τὰς ἐνδείξεις τῆς Ἁγίας Γραφῆς, ἀπεκάλουν τοὺς προσδοκωμένους μακαρίους δι' αὐτοὺς χρόνους, «βασιλείαν τοῦ Θεοῦ τοῦ οὐρανοῦ» (Δαν. 6', 44), «ἡμέραν Κυρίου» (Ἰωὴλ 6', 31), «μέλλουσαν βασιλείαν τοῦ Δαυΐδ ἐν ὀνόματι Κυρίου» (πρβλ. Μάρκ. ια', 10)· ἢ ἁπλούστερον «ἀποκατάστασιν τῆς βασιλείας τοῦ Ἰσραὴλ» (Πράξ. α', 6) «ἐλπίδα τοῦ Ἰσραὴλ» (Πράξ. κα', 20), «λύτρωσιν τοῦ Ἰσραὴλ» (Λουκ. 6', 25, Ἡσ. νζ', 18 μθ', 13).

Ἡ ἰδέα περὶ τῆς βασιλείας τοῦ Θεοῦ, διήκουσα δι' ὅλης τῆς Παλ. Διαθήκης, ἀναπτύσσεται βαθμηδὸν καὶ κατ' ὀλίγον καὶ ὀρθότερον τῷ χρόνῳ προϊόντι κατανοεῖται καὶ ἑρμηνεύεται· Οὕτω ἐπὶ τῆς ἐποχῆς τῆς βασιλείας παρὰ τῷ Ἰσραήλ, καθ' ἣν ἤκμαζον οἱ σύλλογοι τῶν Προφητῶν, 4) ἔνθα ἐμελετᾶτο ὁ θεῖος νόμος καὶ διεσαφηνίζετο (πρβλ. α' Βασ. ι', 3 κ. ἑ. γ', 1 ιθ', 20 δ' Βασ. 6', 3 κ. ἑ. Ἀγγ. δ', 13), ἡ ἔννοια τῆς βασιλείας τοῦ Θεοῦ καθίσταται εὐρυτέρα καὶ πνευματικωτέρα, ἀποβαλοῦσά πως τὴν προτέραν ὑλικὴν αὐτῆς ὄψιν καὶ ἐκδοχὴν καὶ οὕτως εἰπεῖν ἀπαλλαγεῖσα ἀπὸ πάσης πολιτικῆς ἀποχρώσεως, παρὰ τοῖς καθαροῖς τὴν διάνοιαν καὶ ταῖς εὐλαβεστέραις ψυχαῖς. Οἱ ἀπόγονοι δηλονότι τοῦ Δαυῒδ βασιλεύουσιν ἤδη ἐν τῷ Ἰσραὴλ ἐν ὀνόματι τοῦ Θεοῦ, ὅστις εἶναι βασιλεὺς παντὸς τοῦ κόσμου καὶ πάντων τῶν ἐθνῶν (Ψαλ. μστ', 3. Παραλ. ιστ', 31)· τοῦτο δὲ οὐχὶ ἐν τῇ ἐννοίᾳ τῆς παντοδυναμίας αὐτοῦ (πρβλ. Ἰώβ. ι', 13. Ζαχ. η', 6), ἀλλ' ἐν τῇ ἐννοίᾳ τῆς ἀβιάστου ἀναγνωρίσεως αὐτοῦ καὶ τῆς αὐτοθελοῦς πρὸς αὐτὸν ὑπὸ πάντων λατρείας 5). Ὁ οὐράνιος οὗτος βασιλεύς, κύριος τῆς ψυχῆς καὶ τῆς καρδίας τοῦ Ἰσραὴλ ὑπάρχων, εἶναι συνάμα καὶ ὁ διευθύνων τὰς τύχας αὐτοῦ (Ἡσ. μγ', 15 Ἰωὴλ 6', 27 Σοφον. γ', 15). Ἡ ἰδιάζουσα δι' αὐτὴ τοῦ Θεοῦ πρόνοια ὑπὲρ τοῦ ἐκλεκτοῦ αὐτοῦ λαοῦ (Ἔξ. ιθ', 15, Λευϊτ. ζ', 6), διήκει δι' ὅ-

4) Οἱ σύλλογοι οὗτοι ἢ σχολαὶ τῶν Προφητῶν ἐξέλιπον παντελῶς μετὰ τὴν Βαβυλώνιον αἰχμαλωσίαν.

5) Ἡ λατρεία τῶν Ἰουδαίων δὲν ἦτο ἀνάλογος πρὸς τὸν πνευματικὸν τοῦ Θεοῦ χαρακτῆρα, καίτοι οὗτος διευκρινίσθη βαθμηδὸν ὑπὸ τῶν Προφητῶν, καθόσον αὕτη περιωρίζετο εἰς ἐξωτερικοὺς μόνον τύπους καὶ καθαρμούς· ἄλλαις λέξεσι, δὲν ἦτο λατρεία λογική, ἐν Πνεύματι Θεοῦ (πρβλ. Ρωμ. ιϐ', 1 Φιλ. γ', 3 α' Πέτρ. 6', 5 καὶ Ἰωάν. δ', 23).

λης τῆς ἱστορίας τοῦ Ἰσραήλ, ὅστις τὴν ἑαυτοῦ πεποίθησιν καὶ ἐλπίδα περὶ τῶν προσδοκωμένων ἀγαθῶν, καὶ τὴν ἀπαλλαγὴν αὐτοῦ ἀπὸ τῶν δεινῶν καὶ τῆς δουλείας, στηρίζει ἐπὶ τὸν δημιουργὸν τοῦ παντός, τὸν ἅγιον καὶ παντοκράτορα (πρβλ. Ψαλ. ι', ιζ'. κβ'. μστ'. ξζ'. κτλ.).

Βραδύτερον δέ, ὅτε διὰ τὴν ἀσέβειαν καὶ τὴν ἀπιστίαν τοῦ σκληροτραχήλου καὶ ἀπεριτμήτου τῇ καρδίᾳ Ἰουδαϊκοῦ λαοῦ, ἡ ὁρατὴ παρ' αὐτῷ τοῦ Ἰεχωβᾶ βασιλεία διεκόπη, καὶ ἡ Ἱερουσαλήμ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου (Ψαλ. μζ', 3), τὸ ὁρατὸν τοῦτο τῆς Ἰουδαϊκῆς λατρείας κέντρον (πρβλ. Εὐσεβ. Ἐκκλ. Ἱστορ. δ', 6 ε', 42), μετὰ τοῦ ναοῦ, τοῦ ἐνδόξου θρόνου τοῦ Θεοῦ, εἰς ἐρείπια κατέκειντο (πρβλ. Παραλ. λστ') 6), οἱ δὲ Ἑβραῖοι, αἰχμάλωτοι ἤδη, ἐστένουν ἐπὶ 70 ἔτη ὑπὸ τὸν ζυγὸν τῶν Βαβυλωνίων, ἡ ἰδέα περὶ τῆς βασιλείας τοῦ Θεοῦ ἐπὶ μᾶλλον καθωρίσθη καὶ ἐπεξηγήθη διὰ στόματος πάλιν τῶν ἁγίων Προφητῶν, τῶν ἑκάστοτε εἰς ἡμέρας χαλεπὰς καὶ δεινὰς περιστάσεις, ὑπὸ τοῦ Θεοῦ τῷ λαῷ τούτῳ ἐγειρομένων 7).

Οἱ πνευματικοὶ οὗτοι ἡγέται τοῦ Ἰσραήλ, οἱ δοῦλοι ἢ οἱ ἄγγελοι τοῦ Θεοῦ (πρβλ. Ἀμ. γ', 7. Δαν. θ', 6, Ζαχ. α', 6. Ἀποκ. ι', 7. Ἡσ. μδ', 26 Ἀγγ. α', 23. Μαλ. γ', 1), ἢ οἱ ἄνθρωποι τοῦ Θεοῦ =Ish Elohim (α' Βασ. β', 27 γ'. Βασ. λγ', 1 πρβλ. καὶ β' Πέτρ. α', 21) 8), προανήγγειλαν τῷ ἀπελπίσαντι τοῦ Κυρίου λαῷ καὶ ἤδη εἰς τὰς πρὸ καιροῦ δοθείσας αὐτῷ ἐπαγγελίας δυσπιστοῦντι (πρβλ. Γεν. ιβ', 1—3 κ.ἑ., Σειρ. μδ', 19—21, Ψαλ. ν', 6 ριε', 2 Ρωμ: θ', 6), ὅτι ἐν τῷ πληρώματι τοῦ

6) Περὶ τῆς καταστροφῆς τῆς Ἱερουσαλὴμ προεφήτευσαν καὶ οἱ Προφῆται Ἀββακοὺμ (β', 11) καὶ Ἡσαΐας (νβ', 9) καὶ Μιχαίας (γ', 12). Ὁ δὲ Κύριος ἡμῶν προεῖπε, τὴν καταστροφὴν τῆς πόλεως ταύτης τόσον λεπτομερῶς, ὡσεὶ ἐμνημόνευεν ἱστορικῶν γεγονότων (πρβλ. Λουκ. α'. 41 καὶ Ἰωσήπ. Ἰουδ. Πολ. Ζ'. α', 1).

7) Οἱ Προφῆται ἀναφαίνονται παρὰ τῷ Ἰσραὴλ πολὺ πρὸ τοῦ Μωϋσέως. Περὶ Προφητῶν Βλ. καὶ Μ. Βασ. προοίμ. Ἑρμην. εἰς Ἡσαΐαν. Κατὰ τὴν γενικωτέραν ἐκδοχὴν τοῦ ὀνόματος, Προφῆται ἦσαν καὶ αὐτοὶ οἱ Πατριάρχαι (πρβλ. Γεν. ιη', 17 κ', 7 ψαλ. ρδ', 15 Ἐξόδ. ιε', 20 κτλ.)

8) Ὁ ἱ. Χρυσ. ἀποκαλεῖ τοὺς Προφήτας «στόμα Θεοῦ» (Ὁμ. ΙΘ'. εἰς τὰς Πράξ.) Οἱ Προφῆται ἐκαλοῦντο καὶ «ὁρῶντες καὶ βλέποντες» (πρβλ. α' Παρ. θ', α β'. Παρ. λγ', 18). Ἀλλαχοῦ οἱ Προφῆται παρεικάζοντο πρὸς τὰς νεφέλας (πρβλ. ψαλ. ιζ', 12), ὁ δὲ φωτισμὸς αὐτῶν πρὸς τὴν ἀστραπήν, τὴν πόρρωθεν φαίνουσαν. Ὁ ἱ. Θεοδώρ. λέγει, ὅτι «ἴδιον προφήτου ἐστὶ τὸ τὴν γλῶτταν ὑπουργὸν παρέχειν τῇ τοῦ Πνεύματος χάριτι (βλ. Προθεωρ. εἰς τοὺς Ψαλμούς).

χρόνου θὰ ἐξαποστείλῃ εἰς αὐτὸν ὁ Θεὸς ποιμένα μέγαν, ὅστις θὰ συναγάγῃ πανταχόθεν τὰ ἐσκορπισμένα καὶ θὰ ἀναστήσῃ τὴν πεσοῦσαν σκηνὴν τοῦ Δαυΐδ, τουτέστι τὴν βασιλείαν αὐτοῦ (πρβλ. Ἀμ. θ΄, 11 β΄ Βασ. ζ΄, 12), ἐν ᾗ πάντα θὰ ὦσι καινὰ καὶ αἰώνια (πρβλ. Ἰεζ. λδ΄, 23 κ. ἑ. Ἡσ. ξε΄, 17—18)· ὅτι θὰ ἀνακαινισθῇ μὲν ἐν Σιὼν ἡ βασιλεία τοῦ Θεοῦ ἡ ἔνδοξος, καὶ αἰώνιος (πρβλ. Ἰωὴλ γ΄, 1—21), καὶ ὁ ἐπηγγελμένος μέγας τοῦ Δαυΐδ ἀπόγονος, θὰ ἔλθῃ ἐπὶ γῆς μετὰ δόξης καὶ θὰ βασιλεύσῃ ἐν τῷ Ἰσραὴλ ὁρατῶς καὶ ἐν θριάμβῳ (πρβλ. Ἡσ. δ΄, 2 κ.ἑ.), πλὴν μόνον ἐπὶ τῶν εὐσεβῶν καὶ δικαίων (πρβλ. Ἡσ. ια΄, 1—5. 9—10. Μαλ. γ΄ — δ΄. Ψαλ. ρβ΄, 11)· καθώρισαν δ' ἅμα οἱ πνευματέμφοροι οὗτοι ἄνδρες καὶ τοὺς χαρακτῆρας τῆς βασιλείας ταύτης, τῆς ὁποίας τὰ ὅρια ἐπεκτείνονται πανταχοῦ, ἅτε δὴ προωρισμένης νὰ συμπεριλάβῃ ἐν ἑαυτῇ οὐχὶ τοὺς Ἰουδαίους μόνον, *ἀλλ' ἅπαντα* τὸν κόσμον (πρβλ. Ψαλ. β΄, 8. Δαν. ζ΄, 14. Ἀμ. θ΄, 12. Ζαχ. β΄, 11. Ἡσ. β΄, 2—3 κτλ.

Ἐν γένει δ' εἰπεῖν, οἱ Προφῆται τῶν ὁποίων ἡ παρρησία καὶ ὁ ἔνθεος ζῆλος καὶ ὁ ὑπὲρ τοῦ δικαίου καὶ τῆς ἀληθείας ἀγὼν ἐν ἁπάσῃ τῇ διδασκαλίᾳ αὐτῶν καταφαίνεται (πρβλ. Χρυσ. Ὁμ. ΜΣΤ΄. εἰς τὰς Πράξ.), πολλάκις προανήγγειλαν τὴν τύχην καθόλου τοῦ Ἰσραὴλ καὶ τὴν πραγματικὴν καὶ παραμόνιμον ἐν αὐτῷ κατασκήνωσιν τοῦ Θεοῦ, 9) διὰ τῆς ἐλεύσεως τοῦ προσδοκωμένου Μεσσίου (πρβλ. Ἡσ. ια΄, 2, Ἀγγ. β΄, 23 κτλ.), τοῦ ἄρχοντος τοῦ Ἰσραὴλ (Μιχ. ε΄, 1 κ. ἑ.), 10) ὅστις ἔμελλε νὰ ὑποτάξῃ ὑπὸ τὴν ἑαυτοῦ βασιλείαν πάσας τὰς λοιπάς, οὐχὶ ὅμως βίᾳ καὶ ἐξωτερικῇ τινὶ δυνάμει, ἀλλὰ διὰ μόνης τῆς ἀληθείας, τῆς νικώσης τὰ ἔθνη πάντα (πρβλ. Ἡσ. με΄, 19, Ἰωάν. ιδ΄, 6). Τοῦτο δ' ὅμως γενήσεται κατὰ τὴν ἰδίαν τῶν Προφητῶν ἔκφρασιν, τὴν πυκνὰ παρ' αὐτοῖς ἀπαντῶσαν, τοῦ λόγου ὄντος περὶ τῆς ἐπιφανείας τοῦ Μεσσίου καὶ τῆς βασιλείας αὐτοῦ, «ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ» (Ἡσ. β΄, 2, Μιχ. δ΄, 1, Ὡσ. γ΄, 5

---

9) Ἡ φωτεινὴ νεφέλη τῆς Σκηνῆς τοῦ Μαρτυρίου (πρβλ. Ἐξ. μ΄, 34—38 Λευϊτ. κστ΄, 11), ἀπετέλει τὴν ἐν μέσῳ τοῦ Ἰουδαϊκοῦ λαοῦ τυπικὴν καὶ σκιώδη κατασκήνωσιν τοῦ Θεοῦ.

10) Ἡ λέξις Μεσσίας (Messiah) ἐδήλου κατ' ἀρχὰς τὸν δι' ἡγιασμένου ἐλαίου κεχρισμένον βασιλέα ἢ ἀρχιερέα (πρβλ. α΄ Βασ. ιβ΄, 3 Βασ. κβ΄, 51 Ψαλ. κ΄, 6 τιγ΄, 10 ρλα΄, 10), εἶτα δὲ καθιερώθη πρὸς δήλωσιν τοῦ προσδοκωμένου Σωτῆρος τοῦ Ἰσραὴλ (πρβλ. Δευτ. ιη΄, 15 Ἡσ. μβ΄, 1—4 ψαλ. ρθ΄, 4 Ἰεζὸ κ΄, 1 κ. ἑ. Μιχ. β΄, 13 ε΄, 2 κ. ἑ. Ζαχ. στ΄, 9 κ. ἑ.). Οἱ Σαμαρεῖται ἀπεκάλουν τὸν Μεσσίαν (Taheb).

καὶ ἀλλαχοῦ). 11)

Ἐν τούτοις παρῆλθον τετρακισχίλια περίπου ἔτη πρὶν ἢ ἐμφανισθῇ ἡ βασιλεία τοῦ προσδοκωμένου Μεσσίου, ἀπὸ τοῦ περὶ αὐτῆς κηρύγματος τῶν Προφητῶν. Οἱ μακροὶ δὲ οὗτοι αἰῶνες ἐδόθησαν ὅπως ὁ Ἰουδαϊκὸς λαὸς εἰς ἀμεσωτέραν ἔλθῃ σχέσιν μετὰ τῶν προφητειῶν τῆς Π. Διαθήκης, ἐννοήσῃ ταύτας ὑπὸ τὴν ἀληθῆ αὐτῶν ἔννοιαν καὶ ἐπὶ τὴν ἑαυτοῦ συνείδησιν ἐγχαράξῃ, προσκολληθῇ δὲ τέλος αὐταῖς ἐν πίστει καὶ ἐλπίδι καὶ πόθῳ ζέοντι, πρὸς ταχεῖαν αὐτῶν ἐκπλήρωσιν (πρβλ. Δαν. ιβ' 4, Ἐφεσ. α', 10). 12)

Ὀλίγοι ὅμως ἐνεβάθυναν εἰς τὸ πνεῦμα τῆς βασιλείας ταύτης καὶ ἄξιοι αὐτῆς κατέστησαν, διότι κατὰ τοὺς χρόνους τούτους, ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθηντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι 13), τυφλοὶ ὁδηγοὶ τυφλῶν (Ἠσ. μβ', 19 Ματθ. ιε', 14), ὧν τὰ πνεύματα ἐκυβερνῶντο ὑπὸ φρονημάτων εὐτελῶν, καὶ διηυθύνοντο ὑπὸ διαθέσεων κοσμικῶν, οἵτινες ἐπεζήτουν καὶ ἐλάμβανον «δόξαν παρὰ ἀλλήλων» (πρβλ. Ἰωάν. ε', 44), καὶ παρ' οἷς ἡ ὑψηλὴ καὶ πνευματικὴ ἰδέα τῆς βασιλείας τοῦ Θεοῦ ὁλοτελῶς παρεμορφώθη καὶ διεστράφη.

Οἱ Ἰουδαῖοι, τοὺς ὁποίους ὁ κυβερνῶν πανσόφως, καὶ εὐτάκτως τὸ σύμπαν ἡνιοχῶν Θεός, προέκρινε παρὰ πάντα τὰ ἔθνη καταστήσας αὐτοὺς σχοίνισμα κληρονομίας (Δευτ. λβ' ,8—9), καὶ ἐξαιρετικὴν ὅλως πρόνοιαν ἔλαβεν οὗτος περὶ αὐτῶν, δι' ἐκτάκτων σημείων καὶ ὁραμάτων καὶ ἐμφανίσεων 14) διαπαιδαγωγήσας αὐτοὺς εἰς τὴν ἀληθῆ θεογνωσίαν καὶ θεοσέβειαν, διὰ τὸν ὑψηλὸν αὐτῶν προορισμὸν (πρβλ. Ἠσ. μβ',

11) Ἡ ἡμέρα τῆς μελλούσης κρίσεως καλεῖται ἐν τῇ ἁγ. Γραφῇ καὶ «μεγάλη ἡμέρα», «ἡμέρα Κυρίου», «ἡμέρα κρίσεως», «ἡμέρα ὀργῆς», «ἡμέρα ἐκδικήσεως» κτλ. (πρβλ. Ἰωὴλ β', 31 Σοφον. α', 15 Μαλ. δ', 5 Ρωμ. β', 5 Φιλ. α', 10—16 β' Πέτρ. β', 13 γ', 7 Ἀποκ. στ', 17 κτλ.)

12) Πρβλ. καὶ Μ. Βασ. Ἁγ. Πνεύμ. ιδ'. καὶ Αὐγουστ. in Joan. tractat XXXI. 5.

13) Οἱ γραμματεῖς καλοῦνται ὑπὸ τοῦ ἱστορικοῦ Ἰωσήπου «πατρίων ἐξηγηταὶ νόμων» (Ἀρχ. ιζ', 2—4). Οἱ Φαρισαῖοι (=κεχωρισμένοι) ἀπετέλουν ἰδιαιτέραν τάξιν, καταγινόμενοι κυρίως εἰς τὴν νομικωτέραν ἐξακρίβωσιν καὶ ἀνάπτυξιν τοῦ Νόμου (πρβλ. Ἰωσ. Ἰουδ. Πολ. 2, 8, 14 καὶ Ματθ. κβ', 35 Λουκ. ε', 17 ζ', 30 ι', 25 Πράξ. ε', 34).

14) Τὰς ἐν εἴδει ἀνθρώπου ἐμφανίσεις τοῦ Θεοῦ πρὸς τοὺς ἁγίους ἄνδρας τῆς Π. Διαθήκης θεωροῦσι γενικῶς οἱ ἱ. Πατέρες ὡς ἐμφανίσεις τοῦ υἱοῦ τοῦ Θεοῦ (πρβλ. Εἰρην. κατὰ αἱρέσ. L. IV, 23).

6 μθ', 6), ὤφειλον ἀναντιρρήτως νὰ διεισδύσωσι πάντες εἰς τὴν πνευματικὴν ἔννοιαν τῆς βασιλείας τοῦ Θεοῦ, καὶ ἐν τῷ προσώπῳ τοῦ Κυρίῳ, ἐν τοῖς ἔργοις καὶ λόγοις αὐτοῦ, νὰ ἐνίδωσι καὶ ἀναγνωρίσωσι τὸν ἀπὸ πολλοῦ ἐναγωνίως προσδοκώμενον βασιλέα τοῦ Ἰσραήλ, ὡς τὸν μέγαν καὶ κατ' ἐξοχὴν ὑπὸ τοῦ Θεοῦ ἀπεσταλμένον Προφήτην (πρβλ. Λευτ. ιη', 15—19), ὡς τὸν ἀληθῆ Μεσσίαν καὶ Σωτῆρα τοῦ κόσμου (πρβλ. Ἠσ. νγ', 4—8, 11—12 α' Ἰωάν. δ', 7). Καίπερ ἔχοντες ὁδηγὸν τὸν θεόσδοτον Νόμον 15) καὶ τοὺς Προφήτας, οἵτινες ἐξηρεύνησαν καὶ ἐξεζήτησαν περὶ τῆς σωτηρίας αὐτῶν, καίπερ βλέποντες σημεῖα καὶ τέρατα καθ' ἑκάστην τὸν Κύριον ἐργαζόμενον καὶ ποιοῦντα, καίπερ πολλαχῶς εὐεργετηθέντες καὶ πλεῖστα ἄλλα παρ' αὐτοῦ ἀγαθὰ καρπωθέντες, ὅμως δὲν ἐπίστευσαν εἰς αὐτὸν καὶ δὲν ἀπεδέχθησαν ὡς λυτρωτὴν αὐτῶν καὶ σωτῆρα, καὶ τοῦτο, διότι «λαὸς ὢν μωρὸς καὶ οὐχὶ σοφὸς» (πρβλ. Δευτερ. λβ', 6), καὶ πηροὶ ὄντες τῇ διανοίᾳ, ἐφρόνουν γήϊνα περὶ αὐτοῦ καὶ εὐτελῆ καὶ χαμαίζηλα, μὴ δυνάμενοι, ἅτε παχεῖς καὶ τῇ γῇ προσηλωμένοι, νὰ ὑψωθῶσιν ὑπεράνω αὐτῶν. Ἡ πνευματικὴ τύφλωσις καὶ ἡ πεπωρωμένη αὐτῶν καρδία, καὶ δὴ τῶν ἀρχόντων καὶ διδασκάλων αὐτῶν, τῶν πεποιθότων ἐφ' ἑαυτοῖς καὶ βρενθυομένων ἐπὶ τῇ θεογνωσίᾳ αὐτῶν (πρβλ. β', 20) ἦτο τοιαύτη, ὥστε νὰ συνεπάγηται τὴν ἐν τῇ πλάνῃ αἰώνιον παραμονὴν αὐτῶν (πρβλ. Ρωμ. ι', 2—3 β' Κορ. γ', 14—15).

Πράγματι δὲ ἡ ἄγονος καὶ τραχεῖα τῶν Ἰουδαίων συναγωγή, καὶ ἡ ὀξώδης καὶ σαπρὰ διδασκαλία τῶν Ραββίνων 16), οἵτινες μεγίστην ἐπεδείκνυον σπουδὴν περὶ τὰ μικρὰ καὶ ἐλάχιστα τοῦ Μωσαϊκοῦ νόμου, παρημέλουν δὲ καὶ ἡμάρτανον εἰς τὰ βαρύτερα αὐτοῦ (πρβλ. Ματθ. κγ', 2 κ. ἑ.), καὶ οἱ ὁποῖοι διέστρεφον τὰ φρονήματα τῶν ἁπλουστέρων (πρβλ. Μιχ. γ', 5—9), καὶ διέφθειρον τὰς ψυχὰς αὐτῶν, κατὰ τὸν τελευταῖον πρὸ τῆς ἐμφανίσεως τοῦ Κυρίου αἰῶνα, καθ' ὃν οἱ Προφῆται εἶχον ἤδη ἐκλίπει 17), τὰ μάλιστα ἐπιζημίως ἐπέδρασαν ἐπὶ τοῦ ἁπλοῦ Ἰουδαϊκοῦ

15) Οἱ Ἰουδαῖοι ἦσαν ἁπλοῖ ὀπαδοὶ τοῦ γράμματος τοῦ νόμου, παραδεδομένοι μᾶλλον εἰς τοὺς τύπους καὶ τὰς τελετάς, ἢ εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τὴν ὑποταγὴν εἰς τὰ προστάγματα αὐτοῦ (πρβλ. α' Βασ. ιε', 22).

16) Ὁ τίτλος Ράβ, Ραββί, Ραββουνί, ἤτοι μέγας, κύριος, διδάσκαλος, ἦν ἐν χρήσει ἀπὸ τῶν χρόνων Ἡρώδου τοῦ Μεγάλου.

17) Ἀπὸ τῆς ἐποχῆς τοῦ Μαλαχίου (β' ἥμισυ τοῦ ε' αἰῶνος π. Χ.) μέχρι τῆς γεννήσεως τοῦ Προδρόμου, ὁ Ἰουδαϊκὸς λαὸς ἐγκατελείφθη ὑπὸ τοῦ Θεοῦ ἄνευ Προφητῶν καὶ ἀποκαλύψεως (πρβλ. Ἰωσ. κατὰ Ἀπίων, α', 8 α' Μακκ. ιδ', 41).

λαοῦ, ἐν ᾧ τερατώδεις ἐμορφώθησαν ἰδέαι καὶ παραστάσεις περί τε τοῦ Μεσσίου καὶ τῆς βασιλείας αὐτοῦ. Οὗτοι προσπεπετταλευμένοι ὄντες τῷ νεκρῷ γράμματι τοῦ νόμου, καὶ προσηλωμένοι εἰς τὰ ὑλώδη καὶ φθαρτὰ τοῦ κόσμου ἀγαθά, οὐδὲν ἄλλο διέβλεπον ἐν τῷ προσδοκωμένῳ Μεσσίᾳ, εἰμὴ τὴν ἀπαλλαγὴν αὐτῶν ἀπὸ τῶν δεινῶν καὶ τοῦ ξενικοῦ ζυγοῦ, ἤτοι τὴν παλιγγενεσίαν τοῦ Ἰουδαϊκοῦ ἔθνους, καὶ τὴν ἀνύψωσιν αὐτῶν εἰς τιμὰς καὶ ἀξιώματα κοσμικά καὶ ἐπίκηρα. Ἀντελαμβάνοντο δηλονότι οἱ Ἰουδαῖοι καὶ ἀπεδέχοντο τὴν βασιλείαν τοῦ Μεσσίου ὡς κοσμικὴν καὶ ἐπίγειον, καθ' ἣν πάντες οἱ ἐθνικοὶ θὰ ὑπετάσσοντο αὐτοῖς ὡς δοῦλοι, αὐτὸν δέ, «τὴν βοήθειαν τοῦ Ἰσραήλ», τὸν ἀναμενόμενον Μεσσίαν, ὡς ἐπίγειον βασιλέα, μέλλοντα νὰ ἔλθῃ ἐξαίφνης ἐν ὅλῳ τῷ ἐκτάκτῳ καὶ ἐκπάγλῳ αὐτοῦ ὁπλισμῷ, διὰ πομπῆς καὶ πατάγου, δι' ἀλλαλαγμοῦ καὶ παρατάξεως (πρβλ. Μαλ. γ΄, 1 Δευτ. ιγ΄, 1—3), ἵνα βασιλεύσῃ ἐν μέσῳ αὐτῶν ἐν εὐθύτητι, ἐν δικαιοσύνῃ καὶ εἰρήνῃ (ψαλ. ιϐ΄. μδ΄, 7 α΄ Βασ. ϐ΄, 10 Ζαχ. η΄, 8). Τῆς βασιλείας δὲ ταύτης μόνοι κληρονόμοι θὰ ἦσαν οἱ Ἰουδαῖοι, ὡς ἐκ τῆς ἀπὸ τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων Πατριαρχῶν καταγωγῆς αὐτῶν (πρβλ. Ἡσ. μα΄, 8 Παραλ. κ΄, 7 Ματθ. γ΄, 8 κτλ.).

Ὅτι οἱ Ραϐϐῖνοι, οἱ αὐτόκλητοι οὗτοι τῶν ἄλλων διδάσκαλοι, εἰς οὓς κατὰ τὸν Ἡσαΐαν (α΄, 6), ἀπὸ ἴχνους ποδὸς μέχρι κεφαλῆς δὲν ὑπῆρχεν ἀκεραιότης, ἀλλὰ τραύματα καὶ μελανίσματα καὶ ἕλκη σεσηπότα, καὶ ὁ Ἰσραηλιτικὸς ἐν γένει λαὸς δὲν ἐνεβάθυναν καὶ δὲν κατενόησαν τὴν ἀληθῆ ἔννοιαν τῆς Μωσαϊκῆς νομοθεσίας καὶ τῶν προφητειῶν περὶ τῆς Μεσσιακῆς βασιλείας 18) καταδείκνυται καὶ ἐκ τῆς πεποιθήσεως αὐτῶν εἴς τε τὴν ἐξωτερικὴν ὅλως τήρησιν τοῦ παλαιοῦ νόμου, εἰς ὃν μετὰ ζήλου ἐνέκυπτον, καὶ εἰς τὰς προσκαίρους καὶ σαρκικὰς αὐτοῦ διατάξεις πρὸς ἃς ἀπέδιδον κῦρος αἰώνιον καὶ ἀναλλοίωτον, φρονοῦντες καὶ δεχόμενοι ὅτι ὁ νόμος οὗτος ἦτο αὐτάρκης πρὸς ἠθικὴν τοῦ ἀνθρώπου διάπλασιν· διὸ καὶ ἐπανεπαύοντο ἐν αὐτῷ, καὶ ἐσεμνύνοντο ἐπὶ τούτῳ, καὶ παρ' αὐτοῦ μόνον ἀνέμενον τὴν ἀπολύτρωσιν αὐτῶν καὶ σωτηρίαν (πρβλ. Ρωμ. ϐ΄, 17 κ. ἑ. Ἰωάν. ε΄, 45). 19. Ἐντεῦθεν ἀντὶ τοῦ «υἱοῦ τοῦ Θεοῦ», ὡς ἀπεκάλουν ἐπίσης τὸν Μεσσίαν οἱ Ἰουδαῖοι, ἀντὶ τοῦ ἀληθινοῦ Μεσσίου, τοῦ διακρινομένου δι' εἰδικῆς δωρεᾶς τοῦ Πνεύματος τοῦ Θεοῦ (πρβλ. Ἡσ. ια΄, 2 κ.ἑ.) 20), ὅστις αἴρων ἐκ τοῦ μέσου τὸ χειρόγραφον τῶν ἁμαρτιῶν αὐτῶν, θὰ ἐζωοποίει αὐτοὺς σὺν αὐτῷ καὶ θὰ παρεῖχε σωτηρί-

---

18) Περὶ τῆς ἐλεύσεως τοῦ Μεσσίου ἐλάλησε καὶ ὁ Ἰακὼϐ (Γεν. μθ΄, 10), καὶ ὁ Μωϋσῆς (Δευτ. ιστ΄, 18).

19) Οἱ Ἰουδαῖοι ἀπερικαλύπτῳ τῇ κεφαλῇ ἐνδιητῶντο εἰς τὰ πάτρια.

αν αἰώνιον (πρβλ. Ἡσ. με', 17. Κολασ. β', 14. 15 Ἑβρ. ε', 9), προσεδόκων βασιλέα ἐπίγειον, πάροχον παντοίων ὑλικῶν ἀγαθῶν, εἰς ἃ κυρίως, ὡς προέφημεν, τὴν ἑαυτῶν ἐλπίδα συνέκλειον (βλ. Ἐπιφ. αἱρ. λ'., 17)21)

Καίτοι δὲ ἐν τῷ προσώπῳ τοῦ βαπτιστοῦ Ἰωάννου, οὗ τὸ ὄνομα μέγα καὶ περιβόητον παρὰ πᾶσι τοῖς Ἰουδαίοις, καὶ ὃν οὗτοι ἐθεώρουν ἀξιόπιστον (πρβλ. Ματθ. ιδ', 5), ἐτίμων δ' αὐτὸν πάντες ὡς Προφήτην, 22) ἐν τῷ φωτὶ τοῦ ὁποίου ἠδύνοντό τινες πρὸς ὥραν (πρβλ. Ἰωάν. ε', 34), ἐνεῖδον τὴν προσέγγισιν τῆς ἀναμενομένης βασιλείας (πρβλ. Μαλ. θ', 45, Δαν. ιη',5.Ματθ. ια',14 κτλ.),ὅμως οἱ χοῦν λείχοντες καὶ περὶ τὰ γήϊνα κλιναυχενὴς οὗτος λαός, δὲν ἐπίστευσαν εἰς τὸ κήρυγμα αὐτοῦ, εἰ καὶ ἀνεγνωρίζετο ὑπὸ πάντων ἡ θεία ἀποστολὴ αὐτοῦ. Οὔτε αἱ ἐπανειλημμέναι αὐτοῦ μαρτυρίαι περὶ τοῦ ἐνανθρωπήσαντος υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, οὔτε τὸ τῆς μετανοίας κήρυγμα ἴσχυσαν νὰ διανοίξωσι τοὺς ὀφθαλμοὺς αὐτῶν πρὸς ἀναγνώρισιν καὶ ἀποδοχὴν τοῦ Μεσσίου, τοὐναντίον δὲ ἐστρόβουν αὐτοὺς πάντα ταῦτα καὶ ἐτάραττον, καθόσον ὑπερέβαινον τὰς κοινὰς αὐτῶν γνώσεις, καὶ ἀντέβαινον πρός τε τὰ συμφέροντα καὶ τὰς παραδόσεις αὐτῶν (πρβλ. Ἰωάν. α', 7. 19—34). Διὸ καὶ παρὰ πάντα τὰ θαυμάσια τοῦ Κυρίου ἔργα καὶ τὰ σωτήρια διδάγματα, τὰ μαρτυροῦντα τὴν ἐν σαρκὶ ἐπιφάνειαν αὐτοῦ πρὸς σωτηρίαν τοῦ κόσμου, παρὰ πάσας τὰς παραινέσεις καὶ τὰς δωρεὰς τοῦ Θεοῦ, ἄμοιροι οὗτοι ὄντες καρδίας ἀγαθῆς καὶ εἰλικρινῶν διαθέσεων, ἀπεδοκίμασαν τὸν Λυτρωτὴν αὐτῶν καὶ σωτῆρα καὶ ἀνεῖλον, κρεμάσαντες ἐπὶ ξύλου (Πραξ. ι', 39, πρβλ. καὶ Μάρκ. η', 31).

Τοιαῦται αἱ κατὰ τοὺς χρόνους τοῦ Κυρίου ἐπικρατοῦσαι παρὰ τοῖς Ἰουδαίοις,—οἵτινες κατὰ σάρκα ἐβουλεύοντο (πρβλ. β', Κορ. β', 17)—, δόξαι καὶ πεποιθήσεις περὶ τῆς βασιλείας τοῦ Θεοῦ τὴν ὁποίαν ὁ Πρόδρομος Ἰωάννης πρῶτον, «ὃς τὴν χάριν εἶδε βλαστάνουσαν», καὶ ὁ Κύριος ἡμῶν ὕστερον, καὶ μετ' αὐτὸν οἱ θεῖοι Ἀπόστολοι εὐηγγελίσαντο ἐν ἀρχῇ μὲν τῷ λαῷ τοῦ Θεοῦ, ἐξ οὗ ὁ Χριστὸς ἀνεβλάστησεν, εἶτα δὲ καὶ

20) Κατὰ τὸν φιλόσοφον καὶ μάρτυρα Ἰουστῖνον (βλ. Διαλ. σ. 267), οἱ Ἰουδαῖοι ἐφρόνουν ὅτι ὁ Μεσσίας θὰ ἦτο ἀνὴρ γεννηθεὶς ἐξ ἀνθρώπων· ἐκλεχθεὶς δὲ παρὰ τοῦ Θεοῦ διὰ τὸ ἔργον, ἕνεκα τῶν μεγίστων αὐτοῦ ἀρετῶν.

21) Οἱ Ἰουδαῖοι ἐκάλουν τὴν ὑπὸ τοῦ Μεσσίου ἀπολύτρωσιν αὐτῶν ἀπὸ τοῦ Ρωμαϊκοῦ ζυγοῦ, μεταφορικῶς, ἀνάστασιν.

22) Πρβλ. Χρυσ. Ὁμ. εἰς Ἰωάννην· «πολὺ τὸ θαῦμα εἶχον τοῦ ἀνδρὸς τούτου πάντες Ἰουδαῖοι».

εἰς πάντα τὰ ἔθνη, καὶ τὴν ἀληθῆ διὰ τοῦ κηρύγματος αὐτῶν ἔννοιαν καὶ σημασίαν αὐτῆς ἐξηγήσαντο (πρβλ. Λουκ. κδ', 47, Μάρκ. ιστ', 15).

Προετάξαμεν τὰ γενικά, ταῦτα ὅπως ὁ ἀναγνώστης προειδὼς ἐν συνόψει, ἔνθεν μὲν τὸν σκοτισμὸν τοῦ νοῦ καὶ τὴν διαφθορὰν τῆς καρδίας τῶν τε διδασκάλων τοῦ Νόμου καὶ τοῦ ἁπλοῦ καὶ παχυλοῦ ὄχλου τῶν Ἰουδαίων ἐπὶ τῶν ἡμερῶν τοῦ Χριστοῦ,—κατάστασις ἥκιστα ἀνταποκρινομένη εἰς τὴν ἵδρυσιν τῆς Μεσσιακῆς βασιλείας, — ἔνθεν δὲ τὴν ἀπ' ἀρχῆς προϋπάρχουσαν ἐν αὐτοῖς ἰδέαν καὶ ἔννοιαν περὶ τῆς βασιλείας τοῦ Θεοῦ, παρακολουθήσῃ εὐχερέστερον τὴν ἐπὶ μέρους λεπτομερῆ ἀνάπτυξιν καὶ διασάφησιν τῆς ἐν λόγῳ βασιλείας, ἣν ἐξετάζομεν ἐν τρισὶ κεφαλαίοις, συνῳδὰ τῇ περὶ αὐτῆς διδασκαλίᾳ τῆς Κ. Διαθήκης.

(Συνεχίζεται)

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ

ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ (*)

ὑπὸ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄. καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η΄.

Κανὼν τῆς Θεοτόκου οὗ ἡ ἀκροστιχίς.

Χαίροις τῆς χαρᾶς ἡμῶν αἰτία Κόρη. Γ. Μ. Μ. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

»Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐ-
»ρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων,
»καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Δίς.

Χαρίτων θησαύρισμα, καὶ ἀνεξάντλητον πέλαγος, ὑπάρχουσα Δέσποινα, ρανίδα γνώσεως, κἀμοὶ ὄμβρησον, ἵνα σὺν τῷ Ἀγγέλῳ, τὸ χαῖρε βοήσω σοι, ᾀσμάτων σάλπιγγι.

Ἀρᾶς ἡ καθαίρεσις, χαῖρε θεόνυμφε Δέσποινα, τοῦ κόσμου ἡ λύτρωσις, χαῖρε Πανάμωμε, ἡ πηγάσασα, ζωὴν τὴν αἰωνίαν, καὶ Ἅδην νεκρώσασα, χαῖρε τῷ τόκῳ σου.

Ἰσχύος ἀνάκτορον, τῆς Πατρικῆς χαῖρε Ἄχραντε, παστὰς ἡ ἀμόλυντος, χαῖρε τοῦ Κτίσαντος, ὁ ὑπέρλαμπρος, νυμφὼν χαῖρε τῆς δόξης, τῆς θείας σαρκώσεως, τὸ ἐργαστήριον.

Ῥάβδος ἡ ἀνθήσασα, τὸν φυτουργὸν πάσης κτίσεως, χαῖρε Ἀπειρόγαμε, χαῖρε ἡ ἄμπελος, ἡ βλαστήσασα, τὸν βότρυν τὸν ὡραῖον, τὸν οἶνον βλαστάνοντα, τῆς ἐπιγνώσεως.

---

*) Συνέχεια ἐκ τοῦ προηγουμένου σελ. 194.

Κανὼν πρῶτος τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.

Τὸν ἱερὸν Νικόδημον μέλπω. Γερασίμου.

Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Τριὰς ὁμοούσιε, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, σοφίαν παράσχου μοι, ἵνα ὑμνήσω φαιδρῶς, τὸν ἐν λόγοις σε, καὶ δόγμασι καὶ ἔργοις, δοξάσαντα Κύριε, θεῖον Νικόδημον.

Ὁ νοῦς ὁ οὐράνιος, ἡ μυροθήκη τοῦ Πνεύματος, ὁ θεῖος Νικόδημος, πάντας καλεῖται ἡμᾶς, τὴν ἐτήσιον, αὐτοῦ τελέσαι μνήμην· συνδράμωμεν ἅπαντες, τοῦτον γεραίροντες.

Νεκρώσας τὸ φρόνημα, τὸ τῆς σαρκός σου Νικόδημε, τὸ χεῖρον ὑπέταξας Πάτερ τῷ κρείττονι, δι' ἀσκήσεως, φιλοσοφίας θείας, καὶ ὤφθης τῆς χάριτος, σκεῦος πολύτιμον.

Θεοτοκίον.

Ἰσχὺν καὶ κραταίωμα, καὶ φωτισμὸν τὴν σὴν εὔνοιαν, ὁ θεῖος Νικόδημος, πλουτήσας Δέσποινα, ἐνθεώτατος, καὶ ὅλος θεοφόρος, ἐσχάτοις ἐν ἔτεσιν, ὤφθη ἐν Ἄθωνι.

Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς.

Τοῦ Νικοδήμου ἄγαμαι χάριν. Γερασίμου.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Τῇ σῇ ἐλλάμψει Φωτοδότα Κύριε, τὸν νοῦν μου φώτισον, καὶ λόγον μοι δίδου, Λόγε ἐν τοῖς χείλεσιν, ὡς ἂν ὕμνον ἐπάξιον, Νικοδήμῳ τῷ θείῳ, καὶ θαυμαστῷ σου θεράποντι, μέλψω ἐν εὐσήμῳ φαιδρότητι.

Ἡ καθαρά σου πολιτεία Ὅσιε, φωτός σε σκήνωμα, ἔδειξεν ἐν Ἄθῳ, καὶ στύλον ὁλόφωτον, καὶ λύχνον φαεινότατον, δαδουχοῦντα ἐν κόσμῳ, ἀθανασίας διδάγματα, Πάτερ θεορρῆμον Νικόδημε.

Νόμου τοῦ θείου ἀναπτύσσων Ὅσιε, λόγον τὸν ἔνθεον, θεολήπτῳ γλώσσῃ ,νοημάτων πέλαγος, καὶ πλοῦτον θείας γνώσεως, ἐν ποικίλῃ σοφίᾳ, τῇ Ἐκκλησίᾳ ἐπώμβρησας, Πάτρε ὥσπερ μάννα οὐράνιον.

Θεοτοκίον.

Ναμάτων θείων ψυχοτρόφων Δέσποινα, πηγὴ ἀκένωτε, βλῦσον τῇ ψυχῇ μου, ὕδωρ τὸ ἁλλόμενον, εἰς ζωὴν τὴν αἰώνιον, ὡς ἂν σβέσω Παρθένε, τῆς ἁμαρτίας τοὺς ἄνθρακας, καὶ πλησθῶ ἀΰλου ἐλλάμψεως.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

»Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θία»σον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, »στεφάνων δόξης ἀξίωσον.

Δίς.

Ὄρος τὸ κατάσκιον καὶ θεῖον, ἐξ οὗ ἐπεδήμησεν ἡμῖν, ὁ Βασιλεὺς τῆς κτίσεως, καὶ τὸν Ἀδὰμ ἀνεύρατο, ἐν ἀπωλείας ὄρεσι, χαῖρε Ἁγνὴ Μητροπάρθενε.

Ἰάσεων χαῖρε τοῖς ἀνθρώποις, ὀμβρίζουσα δρόσον δαψιλῶς, χαῖρε πηγὴ ἀκένωτε, ἐξ ἧς ἡμῖν ἀνέβλυσε, τὸ ὕδωρ τὸ ἀλλόμενον, εἰς σωτηρίαν αἰώνιον.

Στάμνος ἡ χρυσῆ χαῖρε Παρθένε, ἡ κόσμῳ τὸν ἄρτον τῆς ζωῆς, ὡς μάννα ἐπουράνιον, ἀσπόρως γεωργήσασα, χαῖρε λυχνία πάμφωτε, τοῦ Πατρικοῦ ἀπαυγάσματος.

Τὴν πλάκα τῆς νέας διαθήκης, ἐν ᾗ ὁ Δεσπότης τοῦ παντός, ἐγράφη σωματούμενος, ὑμνήσωμεν κραυγάζοντες· χαῖρε τοῦ νόμου πλήρωμα, καὶ προφητῶν περιήχημα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ἐπλήσθης φωτὸς ἐπουρανίου, καθάρας Νικόδημε τὸν νοῦν, καὶ ὡς φωστὴρ πολύφωτος, ἐν τοῖς ἐσχάτοις ἔτεσι, τῇ Ἐκκλησίᾳ ἔλαμψας, εἰς εὐσεβῶν περιποίησιν.

Ρημάτων τῶν θείων σου ἡ χάρις, εἰς πᾶσαν ἐξέλαμψε τὴν γῆν, ὡς ἀστραπὴ οὐράνιος, ἤθη ψυχῶν καθαίρουσα, καὶ πρὸς τὸ φῶς ἰθύνουσα, τῶν ἐνταλμάτων τοῦ Κτίσαντος.

Ὁ λύχνος τῆς θείας ἐπιπνοίας, ἡ σάλπιγξ ἡ εὔσημος Θεοῦ, ἡ γλῶσσα ἡ θεόφθογγος, ὑμνείσθω θείοις ᾄσμασιν, ἀξιοχρέως σήμερον, ὁ θειηγόρος Νικόδημος.

Θεοτοκίον.

Ναὸς φωτοφόρος καὶ καθέδρα, πυρίμορφος ὤφθης τοῦ Θεοῦ, Εὐλογημένη Δέσποινα, τοῦτον σαρκὶ κυήσασα· διὸ κἀμὲ καταύγασον, τῇ ἀγλαΐᾳ τῆς δόξης σου.

Δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἰλύος πάσης ἐμπαθοῦς, ψυχὴν καὶ σῶμα καθάρας, τῇ συντόνῳ ἐγ-

κρατείᾳ θεόφρον, ἀπαθείας γεωργεῖς, Νικόδημε τὰς χάριτας, καὶ πρὸς τὴν κτῆσιν τούτων, πάντας προτρέπεις τῷ λόγῳ σου.

Κεκοσμημένος ἀρεταῖς, μυσταγωγὸς θεοφόρος, τῆς ζωῆς τῆς ἐν Χριστῷ κεκρυμμένης, ἀναδέδειξαι ἡμῖν, Νικόδημε μακάριε, πρὸς θείας ἀναβάσεις, μυσταγωγῶν τὰς ψυχάς ἡμῶν.

Ὁ νοῦς σου Πάτερ ἐλλαμφείς, τοῦ Παρακλήτου τῇ αἴγλῃ, ἡ δὲ χείρ σου ὑπ' αὐτοῦ κινουμένη, διετύπωσεν ἡμῖν, οὐράνια διδάγματα, ἐν τεύχεσιν ἁγίοις, καὶ πλείταις βίβλοις Νικόδημε.

Θεοτοκίον.

Δεδοξασμένη Μαριάμ, Παντοβασίλισσα Κόρη, ἡ Θεὸν ἀνερμηνεύτως τεκοῦσα, τὴν φθαρεῖσάν μου ψυχήν, τοῖς πάθεσιν ἰάτρευσον, καὶ δίδου μοι ὁσῶραι, ἐπιστροφὴν τὴν σωτήριον.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τὸ θεόπνευστον στόμα τοῦ θείου Πνεύματος, ἡ παναρμόνιος λύρα τῶν οὐρανίων ᾠδῶν, τῶν ἐν Ἄθῳ Μοναστῶν τὸ ἐγκαλλώπισμα, ὁ θεοφόρος γραμματεύς, τῆς σοφίας τοῦ Θεοῦ, Νικόδημος ὁ Θεόφρων, χαρμονικῶς ἐπανείσθω, ὡς Χριστοῦ θεράπων γνήσιος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε κόσμου βοήθεια, ἐν καιρῷ τῆς ἀνάγκης βοήθει πάντοτε, τοῖς προστρέχουσι θερμῶς τῇ προστασίᾳ σου, καὶ τὴν παροῦσάν σου Ἁγνή, κληρουχίαν τὴν σεπτήν, διάσωζε πάσης βλάβης· ὅτι τῇ σῇ ἀντιλήψει, διὰ παντὸς προστρέχει Δέσποινα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

»Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλ»θεν Ἰησοῦς ὁ Ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε τοὺς κραυ»γάζοντας δόξα Χριστὲ τῇ δυνάμει σου.

Δίς.

Ἡ λαμπὰς ἡ φωτοφόρος, ἡ τὸ φῶς τὸ ἀπρόσιτον, τοῖς ἐσκοτισμένοις, ἐν μορφῇ βροτείᾳ ἀστράψασα, χαῖρε Παρθένε ὁ ὄρθρος ὁ ἀνέσπερος, ἡ ἐκλάμψασα, δικαιοσύνης τὸν ἥλιον.

Σωτηρίας ὤφθης πύλη, τοῖς τὸ χαῖρε κραυγάζουσι, χαῖρε μυροθήκη, ἡ Χριστὸν τὸν Λόγον κυήσασα, τῆς ἀφθαρσίας δωρούμενον τὴν εὔπνοιαν, τοῖς τὸν θάνατον, παρακοῇ γεωργήσασι.

Χαρισμάτων οὐρανίων, χαῖρε πλοῦτος ζωήρρυτος, χαῖρε πρυτανεῖον, τῆς θεαρχικῆς ἀγαθότητος, τῆς θεϊκῆς εὐδοκίας χαῖρε θάλαμε. Ἀπειρόγαμε, δι' ἧς φθορὰ ἐξηφάνισται.

Ἀνατεῖλαν ἐκ γαστρός σου, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τῆς ἀθανασίας. θείαν σε νεφέλην ἀνέδειξεν, ἐπισκιάζουσαν Κόρη τοὺς βοῶντάς σοι, χαῖρε σκήνωμα, τοῦ Βασιλέως τῆς κτίσεως.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Νόμου θείου τῇ μελέτῃ, καὶ λογίων τοῦ Πνεύματος, νουνεχῶς σχολάσας, νυκτὸς καὶ ἡμέρας Νικόδημε, ξύλον ὡράθης παρ' ὕδατα κατάκαρπον, θείας χάριτος, καρποφοροῦν γνῶσιν κρείττονα.

Ἱλαρὸς Πάτερ τοῖς τρόποις, καὶ τῇ ὄψει μειλίχιος, καὶ ἡδὺς τῷ λόγῳ καὶ τῇ παραινέσει θεόσοφος, τοῖς ἐρχομένοις πρὸς σὲ ἐφαίνου Ἅγιε, νέμων ἅπασι, σωτηριώδη διδάγματα.

Καταπλήττει τὰς ἐννοίας, τῶν πιστῶν Πάτερ Ὅσιε, τὸ ὕψος, καὶ βάθος, καὶ μῆκος καὶ πλάτος Νικόδημε, τοῦ θησαυροῦ τῆς σοφίας σου τῆς χάριτος· ὅτι πέλαγος, παντοδαποῦς ὤφθης γνώσεως.

Θεοτοκίον.

Οὐρανὸς ἐν γῇ ἐφάνης, οὐρανῶν ὑψηλότερος, Κόρης Παναγία, ἐν χερσὶ κρατοῦσα ὡς νήπιον, τὸν Ποιητὴν οὐρανοῦ καὶ γῆς δι' ἔλεος, πρὸς οὐράνιον, ἡμᾶς ὑψοῦντα πολίτευμα.

Δεύτερος. Σύ μου ἰσχύς.

Ἡ μελουργός, καὶ λιγυρὰ καὶ θεόφθογγος, τῆς σῆς γλώσσης, κιθάρα Νικόδημε, ἐμπνεομένη ὑπὸ Θεοῦ, ὕμνησεν Ὁσίων, τὰ εὐκλεῆ κατορθώματα, ἐν φθόγγοις ἡδυτάτοις, καὶ ᾠδαῖς ἁρμονίοις, εὐσεβῶν τὰς καρδίας εὐφραίνουσα.

Μάννα ζωῆς, μέλι ἐκ πέτρας θεόβρυτον, δρόσος θεία, ἐξ Ἁγίου Πνεύματος κατερχομένη ἐπὶ τῆς γῆς, πέλει ὁ σὸς λόγος, οὐρανομύστα Νικόδημε, ἐκτρέφων καὶ εὐφραίνων, καὶ δροσίζων καρδίας, τῶν πιστῶς ἐγκυπτόντων ταῖς βίβλοις σου.

Ὁ γλυκασμός, τῆς θείας χάριτος Ὅσιε, τῇ ἀμέμπτῳ, ἐκχυθεὶς καρδίᾳ σου, διὰ χειλέων σου τῶν σεπτῶν, τεύχεσιν ἁγίοις, ἐθησαυρίσθη Νικόδημε, καὶ ἅπαντας γλυκαίνει, καὶ ἡδύνει καὶ τέρπει, τοὺς πιστῶς μελετῶντας τὰς βίβλους σου.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν, διὰ παντὸς καθικέτευε, Θεοτόκε, μόνη Ἀειπάρθενε, τὸν προελθόντα ἐκ τῶν ἁγνῶν, αἱμάτων σου Κόρη, κατοικτειρῆσαι οὓς ἔπλασε καὶ δοῦναι ἡμῖν πᾶσι, τῶν πταισμάτων τὴν λύσιν, καὶ φωτὸς αἰωνίου τὴν μέθεξιν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

»Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ Ἀπειρόγαμε »Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον »Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύοντα.

Δίς.

Ρυσθέντες τῷ τόκῳ σου, τῆς πάλαι ἀποφάσεως, χαῖρε χαρμοσύνως σοι βοῶμεν, χαῖρε Παρθένε ἡ καταλλάξασα, τῷ Παμβασιλεῖ ἡμῶν Θεῷ, τοὺς καθυποκύψαντας, δι᾽ ἀπάτης τῷ δράκοντι.

Ἀνθήσασα Πάναγνε, λειμὼν ὡς θεοφύτευτος, ἄνθος τὸ ὡραῖον καὶ εὐῶδες, τὸν ὡραΐσαντα τὴν γῆν ἄνθεσιν, ἔπλησας ὀσμῆς τῆς θεϊκῆς, τοὺς ἀναβοῶντάς σοι, χαῖρε θεῖον ὀσφράδιον.

Σιὼν πολυώνυμος, χαῖρε Παρθένε Δέσποινα, πόλις τοῦ μεγάλου Βασιλέως, περὶ ἧς ξένα σαφῶς λελάληνται, χαῖρε ἡ ἀνοίξασα ἡμῖν, πύλην τὴν οὐράνιον, καὶ τρυφὴν τὴν ἀκήρατον.

Ἡ βάτος ἡ ἄφλεκτος, χαῖρε Παρθένε Ἄχραντε, χαῖρε ἡ νεκρώσασα τὸν Ἅδην, ὡς τετοκυῖα τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν διὰ θανάτου καὶ παθῶν, πᾶσι τὴν ἀπάθειαν, καὶ ζωὴν ἀναβλύσαντα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Διδάγματα ἔνθεα, ἀνέβλυσας Νικόδημε, οἷα ποταμὸς Θεοῦ τοῦ ζῶντος, καὶ ὡς χειμάρρους τρυφῆς εὐφραίνεις ἀεί, ρεύμασι τῶν λόγων σου, σοφέ, Ἐκκλησίαν ἅπασαν, τοῦ Χριστοῦ τὴν Ὀρθόδοξον.

Ἡσύχως ἐβίωσας, στοιχειωθεὶς Νικόδημε, νήψει τοῦ νοὸς καὶ ἐγκρατείᾳ, καὶ τῇ μελέτῃ τῶν θεοπνεύστων Γραφῶν, καὶ ἀνεπτερώθης νοερῶς, πρὸς τὰς ὑπὲρ ἔννοιαν, ἐπιλάμψεις τοῦ Πνεύματος.

Μαρτύρων ἀνύμνησας, τοὺς ἄθλους καὶ τὰ σκάμματα, καὶ τὰς τῶν Ὁσίων ἀριστείας, ὧν καὶ τοῖς ἴχνεσιν ἠκολούθησας, βίῳ ἐπὶ γῆς ἀγγελικῷ, καὶ σὺν τούτοις Ὅσιε, ἐπαξίως δεδόξασαι.

Θεοτοκίον.

Ὁλόφωτον σκήνωμα, Θεοῦ τοῦ Παντοκράτορος, Κεχαριτωμένη Θεο-

τόκε, τὴν σκοτισθεῖσαν ψυχήν μου λάμπρυνον, καὶ ταύτην δοχεῖον καθαρόν, τοῦ ἐκ σοῦ ἐκλάμψαντος, θεομῆτορ ἀνάδειξον.

Δεύτερος. Ἵνα τί με ἀπώσω ;

Ἀρετῶν ἐπιδόσεις, καὶ πνευματικῶν ἀγώνων γυμνάσματα, καὶ μελέτας θείας, προσφυῶς διαγράφεις Νικόδημε, ἐν ἁγίῳ βίβλῳ, ἢ καταλλήλως ἐκ τῶν ἔργων, τὴν φερώνυμον κλῆσιν ἐπέθηκας.

Γεωργίᾳ τοῦ λόγου, τῶν παθῶν ἐκτέμνεις τὰς ῥίζας Νικόδημε, καὶ τὸν σπόρον Πάτερ, ἐντολῶν τοῦ Θεοῦ τὸν σωτήριον, ἐκ ψυχῶν ἀρούραις, καλλιεργεῖς μετὰ σοφίας, ὡς θεράπων Θεοῦ ἐνθεώτατος.

Ἀοράτου πολέμου, πρὸς τὰς ἐξουσίας τοῦ σκότους Νικόδημε, πᾶσιν ἀναπτύσσεις, ὡς ἐν τούτῳ νικήσας τὴν μέθοδον, καὶ ἡμᾶς ἀλείφεις, κατὰ παθῶν τε καὶ δαιμόνων, πρακτικαῖς ὑποθήκαις θεόπνευστε.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη, ἡ τὸν Θεὸν Λόγον ἀφράστως κυήσασα, ταύτην σου τὴν ποίμνην, τὸ περίβλεπτον Ὄρος τοῦ Ἄθωνος, φύλαττε καὶ σκέπε, πάσης ἀνάγκης τε καὶ βλάβης, ὡς ὑπέσχου τῇ σῇ ἀγαθότητι.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ στ'. Ὁ Εἱρμός.

»Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, »τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.

Δίς.

Μύρον οὐράνιον τέξασα, πληρῶσαν εὐωδίας τὴν σύμπασαν, χαῖρε ἀκήρατε, ἡ μυροθήκη τῆς χάριτος, χαῖρε τῆς ἀφθαρσίας, θεῖον ἀλάβαστρον.

Ὤφθης παλάτιον ἔμψυχον, Ἁγνὴ καὶ κιβωτὸς ἁγιάσματος, τοῦ Παντοκράτορος· ὅθεν τὸ χαῖρέ σοι ᾄδομεν, χαῖρε τῆς θείας δόξης, ναὲ ὑπέρτιμε.

Ναμάτων χαῖρε τοῦ Πνεύματος, ὁ πλήρης ποταμὸς καὶ κατάρρυτος, ἐξ οὗ ἀρδεύεται, τοῖς θεοβρύτοις ὁρμήμασιν, ἡ οἰκουμένη πᾶσα, χαῖρέ σοι κράζουσα.

Ἀγγέλων χαῖρε εὐπρέπεια, καὶ θείων Προφητῶν περιήχημα, Ὁσίων στήριγμα, χαῖρε Μαρτύρων στεφάνωμα, καὶ τῶν ἀπηλπισμένων, τὸ καταφύγιον.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Νεοφανὴς ὤφθης ἥλιος, Χριστοῦ τῇ Ἐκκλησίᾳ Νικόδημε, φωτίζων πάντοτε, τῶν Ὀρθοδόξων τὸ πλήρωμα, ἀκτῖσι τῶν σῶν λόγων, καὶ παραινέσεων.

Μέγας ἐδείχθης διδάσκαλος, ὡς πράξας καὶ διδάξας Νικόδημε, τὸ θεῖον θέλημα· διὸ μεγάλων ἠξίωσαι, τιμῶν παρὰ Κυρίου, τοῦ σὲ δοξάσαντος.

Ἐν ἀρεταῖς ἐνθεώτατος, καὶ λόγῳ καὶ σοφίᾳ θεόσοφος, ἐν Ἄθῳ πέφηνας, τῶν Μοναστῶν τὴν διάνοιαν, μυσταγωγῶν θεόφρον, τὰ τελεώτατα.

Θεοτοκίον.

Λυχνία χαῖρε επτάφωτε, φωτὸς θεαρχικοῦ Ἀειπάρθενε, ἡ καταυγάζουσα ,ταῖς μυστικαῖς ἐπιλάμψεσι, τοὺς εὐλαβῶς τὸ χαῖρε, ἀναβοῶντάς σοι.

Δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Ἀμέμπτως σου τὴν ζωήν, διατελέσας Νικόδημε, ἐν ἡσυχίᾳ νοός, καὶ θείαις καθάρσεσι, Γραφῶν ἐνδιαίτημα, καὶ διδασκαλίας, τῆς Πατρώας στόμα πέφηνας.

Ἰσχύϊ τῆς πρὸς Θεόν, ἀγάπης Πάτερ ῥωννύμενος, τὸ ἀσθενὲς τῆς σαρκός, τὴν ζωὴν ἠνάλωσας, Νικόδημε Ὅσιε, ὑπὲρ τοῦ πλησίον, ζωῆς γράφων τὰ διδάγματα.

Χυθέντων τῶν λογικῶν, ῥευμάτων ἐκ τῶν χειλέων σου, Νικόδημε κρουνηδόν, ἀεὶ καταρδεύονται, ἡμῶν αἱ διάνοιαι, πρὸς καρποφορίαν, ἐναρέτων Πάτερ Πράξεων.

Θεοτοκίον.

Ἀγγέλων ἡ χαρμονή, καὶ τῶν ἀνθρώπων βοήθεια, Εὐλογημένη Ἁγνή, μόνη Ἀειπάρθενε, βοήθει ἑκάστοτε, ἡμῖν ἐν ἀνάγκαις, καὶ παντοίαις περιστάσεσι.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς ἐναρέτου πολιτείας μύστην ἄριστον
Καὶ εὐσεβείας θεοφόρητον διδάσκαλον
Ἡ Ὀρθόδοξος γεραίρει σε Ἐκκλησία.
Οὐρανόθεν γὰρ τὸ χάρισμα δεξάμενος

Καταυγάζεις τοῖς ἐνθέοις σου συγγράμμασι
Τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Νικόδημε.

Ὁ Οἶκος.

Ἄγγελος ἐν τοῖς τρόποις, καὶ πολὺς ἐν τῇ γνώσει, Νικόδημε ἐν Ἄθῳ ἐδείχθης· ἀγγελικὴν γὰρ ἔχων ζωήν, ἀγγελοπρεπεῖ φωνῇ διεσάφησας, τὰ ἐν Πατράσι κείμενα, δι᾽ ὧν φωτίζεις τοὺς βοῶντας.

χαῖρε τῆς Νάξου ἡ εὐκοσμία·
χαῖρε τοῦ Ἄθω ἡ δαδουχία
χαῖρε τῶν Πατρώων δογμάτων ἀνάπτυξις
χαῖρε τῶν ἁγίων ρημάτων ἀνάλυσις
χαῖρε ὕψος τῆς φρονήσεως καὶ σοφίας ποταμὸς
χαῖρε βάθος θείας γνώσεως, καὶ ἀγάπης θησαυρὸς
χαῖρε ὅτι ἐδείχθης γραμματεὺς θεοφόρος
χαῖρε ὅτι τυγχάνεις ἑρμηνεὺς θηγόρος
χαῖρε λαμπὰς ἠθῶν τῆς σεμνότητος
χαῖρε πυρσὸς τῆς ἄνω λαμπρότητος
χαῖρε δι᾽ οὗ οἱ πιστοὶ βεβαιοῦνται
χαῖρε δι᾽ οὗ οἱ ἐχθροὶ ἐκπτοοῦνται
χαίροις, Πάτερ Νικόδημε.

Συναξάριον.

Τῇ ιδ΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Νικοδήμου τοῦ Ἁγιορείτου ,τοῦ σοφωτάτου τῆς Ἐκκλησίας διδασκάλου.

Στίχ. Νίκην ὦ Νικόδημε τῷ πιστῷ δήμῳ
Δίδωσιν ὁ λόγος σου Πνεύματι θείῳ.

Νικόδημος δεκάτη γε τετάρτῃ ἱερὸς ἔνθεν ἤρθη.

Οὗτος ὁ θεῖος Πατὴρ καὶ τῆς Ἐκκλησίας διδάσκαλος γέννημα ἦν Νάξου μιᾶς τῶν Κυκλάδων νήσων, γεννηθεὶς ἐξ εὐσεβῶν γονέων, Ἀντωνίου καὶ Ἀναστασίας, τοὐπίκλην Καλλιβούρση, ἐν σωτηρίῳ ἔτει 1749. Ἐν νεανίσκοις τελῶν, ἐμαθήτευσεν ἐν Σμύρνῃ τὰ Ἑλληνικὰ γράμματα παρὰ Ἱεροθέῳ τῷ διδασκάλῳ. Ποθῶν δὲ τὸν ἀπράγμονα καὶ μονήρη βίον, ἦλθεν εἰς τὸ Ἁγιώνυμον τοῦ Ἄθω Ὄρος ἐν ἔτει 1775, καὶ καρεὶς Μοναχὸς ἐν τῇ ἱερᾷ Μονῇ τοῦ Ὁσίου Διονυσίου, μετωνομάσθη ἀπὸ Νικολάου Νικόδημος.

Ἀλλ᾿ ἔρωτι ἡσυχίας ἁλούς, ἀνεχώρησε τῆς Μονῆς, καὶ ἦλθεν εἰς τὴν Σκήτην τῆς Ἱερᾶς Μονῆς Παντοκράτορος, ἔνθα διαφόρους μετήλλαξε Καλύβας, τὸν καθόλου ἀπράγμονα καὶ ἡσύχιον ἀσπαζόμενος βίον· ἐνταῦθα καὶ τὸ μέγα καὶ ἀγγελικὸν ἔλαβε σχῆμα παρά τινος Γέροντος Δαμασκηνοῦ Σταυρουδᾶ. Καθάρας ἐν τῇ ἡσυχίᾳ ἑαυτὸν δι᾿ ἀκροτάτης ἐγκρατείας καὶ λοιπῶν ἀσκητικῶν καμάτων, καὶ δὴ τῆς νοερᾶς καὶ θεοποιοῦ ἐν τῇ καρδίᾳ προσευχῆς, ἧς ἄκρος ἐραστὴς ἐγένετο, ἐπλήσθη τῆς ἐλλάμψεως τοῦ Ἁγίου Πνεύματος, καὶ ἔλαβεν ἄνωθεν, κατὰ τὸν Σολομῶντα, χῦμα σοφίας, καὶ δαψιλὲς χάρισμα διδασκαλίας ὡς οἱ πάλαι μεγάλοι τῆς Ἐκκλησίας Πατέρες καὶ διδάσκαλοι, (ὧν ἴσος ἀνεδείχθη·) συντέταχε γὰρ πλεῖστα συγγράμματα καὶ ἱερὰς βίβλους, πλήρεις θείας χάριτος καὶ σοφίας, σαφηνίζων καὶ ἀναπτύσσων εἰς πλάτος ἐν δυνάμει λόγου θεολογικὰς συνθήκας, κανονικὰς διατάξεις, καὶ ἠθικὰς ὑποτυπώσεις, πρὸς στηριγμὸν τῶν πιστῶν, καὶ διόρθωσιν βίου, καὶ βελτίωσιν ἠθῶν. Συνεδέδετο δὲ φιλίᾳ πνευματικῇ τῷ Ἁγίῳ Μακαρίῳ Μητροπολίτῃ Κορίνθου. Καὶ πλείστους πειρασμοὺς ὑπέμεινεν ὁ ἀοίδιμος ἐξ ἀνθρώπων καὶ δαιμόνων, ἰσαγγέλως δὲ πολιτευσάμενος καὶ ὁσίως εὐαρεστήσας Κυρίῳ, καὶ περιβόητος πᾶσι καὶ ποθητὸς γενόμενος ἐν ἀρετῇ καὶ σοφίᾳ, μικρὸν νοσήσας, ἀπῆλθεν εἰς τὰς αἰωνίους μονάς.

Ἐξεδήμησε πρὸς Κύριον τῷ 1809' Ἰουλίου 14 τὸ 60ὸν ἔτος ἄγων τῆς ἡλικίας, ἐν τῷ κατὰ τὰς Καρυὰς τοῦ Ἄθω Κελλίῳ τοῦ Ἁγίου Γεωργίου, ἀνήκοντι τῇ Ἱερᾷ Μονῇ Μεγίστης Λαύρας, κοινῶς ἐπονομαζομένῳ τῶν «Σκουρταίων», ὧν συνήθης καὶ οἰκεῖος ἐτύγχανεν, καὶ ἔνθα ἡ σεβάσμιος καὶ σεπτὴ αὐτοῦ κάρα ἀπόκειται. Ἦν δὲ τὸν τρόπον ἁπλοῦς καὶ ἀνεξίκακος, τὸ ἦθος γλυκὺς καὶ χαρίεις, ἀκτήμων καὶ λίαν ἀπερίσπαστος. Εἰς τοσοῦτον δὲ ἤλασε μνήμης ὥστε καὶ ὅλα κεφάλαια ἀπεστομάτιζε τῆς Γραφῆς, ῥητῶν ἐδάφιά τε καὶ σελίδας, καὶ πλείστας μαρτυρίας καὶ γνώμας Πατέρων, ὧν καὶ τοὺς τόπους τῶν λόγων καὶ τόμων ἀνεπισφαλῶς ἐκ μνήμης ἐγίνωσκε. Πολλοὺς δὲ πειρασμοὺς ὡς ἔφθην εἰπών, τῶν νοητῶν ἐχθρῶν, καὶ κατηγορίας ἀπείρους τῶν αἰσθητῶν ἤτοι ἀπαιδεύτων καὶ τὴν ἀρετὴν ὑποκρινομένων γενναίως ὑποστάς, τύπος ὁσίας ἐγένετο ζωῆς, καὶ δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ καὶ Πνευματικῇ διδασκαλίᾳ.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

»Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλ-
»λὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύ-
»μνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. Δίς.

Ἰαμάτων σε, κρουνὸν ἀφθονοπάροχον, ἐπιγινώσκοντες, σοὶ ἐκβοῶμεν πιστῶς· χαῖρε κρήνη πάγχρυσε, ἡ ἀναβλύζουσα, τὸ ἀθάνατον, ὕδωρ τε καὶ ἀλλόμενον, εἰς ζωὴν τὴν αἰωνίαν.

Τὴν πολύτιμον, λαβίδα τὴν βαστάζουσαν, ζωῆς τὸν ἄνθρακα, ἐν ταῖς ἀχράντοις χερσίν, ὑμνήσωμεν λέγοντες, χαῖρε Μητρόθεε, τὸ θεότευκτον, χρυσοῦν θυμιατήριον, τῆς τοῦ Λόγου εὐωδίας.

Ἱστὸς ἄρρητος, χαῖρε ἐν ᾧ ἐξύφανε, Λόγος ὁ ἄναρχος, ἄνευ βροτείας χειρός, αὐτοῦ τῆς σαρκώσεως, τὸ περιβόλαιον, χαῖρε Δέσποινα, ἡ τὸν Ἀδὰμ ἐνδύσασα, τὴν στολὴν τῆς ἀφθαρσίας.

Ἀγεώργητος, ὡράθης Κόρη ἄρουρα, καρποφορήσασα, τῶν ἀγαθῶν τὴν πηγήν, Χριστὸν τὸν τὴν λύτρωσιν, πᾶσι βραβεύοντα, τοῖς βοῶσί σοι· χαῖρε ἡ γῆ ἡ ἔνθεος, Ἰωὴλ ἣν προσημαίνει.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Πρὸς ἀνάβασιν, βαθμῶν ἀνάγεις Ὅσιε, βίου λαμπρότητος, κλίμακι λόγων τῶν ναῶν, πανσόφως ἣν ἔπηξας, Πάτερ Νικόδημε, τοὺς ἐκ πίστεως, προστρέχοντας τῇ βίβλῳ σου, ἣν καλεῖς κλίμακα νέαν.

Ὡς πανεύοσμος, λειμὼν τοῦ θείου Πνεύματος, Πάτερ Νικόδημε, κῆπον χαρίτων ζωῆς, δικέλλῃ τῆς γλώσσης σου, τῆς θεορρήμονος, τὴν θεόπνευστον, βίβλον σου ἡμῖν ἔδειξας, ἣν καλεῖς κῆπον χαρίτων.

Γλῶσσαν ἔνθεον, πεπλουτηκὼς Νικόδημε, καὶ νοῦν θεόληπτον, ὑφηγητὴς ἱερός, τοῦ λόγου τῆς πίστεως, ἐσχάτοις ἔτεσιν, ὤφθης Ὅσιε, καὶ διεγείρεις ἅπαντας, πρὸς τὴν κτῆσιν τῶν κρειττόνων.

Θεοτοκίον.

Ἔνθους ἤνεσεν, ὁ ἱερὸς Νικόδημος, τὰ μεγαλεῖά σου, τὰ θαυμαστὰ ἀληθῶς, Παρθένε Πανύμνητε, ὃν κατηγλαΐσας, τῆς εὐνοίας σου, ταῖς μυστικαῖς ἐκφάνσεσιν, ὡς θεράποντά σου θεῖον.

Δεύτερος. Θεοῦ συγκατάβασιν.

Ρημάτων τῶν θείων σου, τὸ κράτος Πάτερ καὶ τὴν λαμπρότητα, καὶ τὴν ἄνωθεν χάριν, καὶ τὴν πλουσίαν ὄντως ἀνάβλυσιν, οὐδόλως ἴσχυον φέρειν Νικόδημε, δοκησισόφων χοροί· ὅθεν ἡττῶντο ἐν σοί.

Ἰλύος ἐκάθηρας, πάσης προσύλου Πάτερ Νικόδημε, καὶ ψυχὴν καὶ τὸ σῶμα, καὶ τὰς αἰσθήσεις καὶ τὴν διάνοιαν· ὅθεν ἰθύνεις ἡμᾶς πρὸς τὴν κάθαρσιν, καὶ φυλακὴν τοῦ νοός, διδασκαλίᾳ σοφῇ.

Νοὸς καθαρότητι, καὶ διανοίας Πάτερ ὀξύτητι, τῶν Ἁγίων Πατέρων, τοὺς θεοφθόγγους λόγους ἐτράνωσας, καὶ θησαυρὸν ψυχοτρόφον κατέλιπες, τῇ Ἐκκλησίᾳ Χριστοῦ, τὰς θείας βίβλους σου.

Θεοτοκίον.

Γαλήνην οὐράνιον, καὶ εὐκατάνυκτον ἦθος δίδου μοι, Θεοτόκε Παρθένε, καὶ φῶς ψυχῆς μου τοῖς διαβήμασιν, ὡς ἂν τὰς τρίβους καλῶς τὰς φερούσας με, ἐπὶ τὴν ἄνω ζωήν, βαδίσω Κόρη Ἁγνή.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

»Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τό»τε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγεί»ρει ψάλλουσαν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦται, εἰς πάντας τοὺς αἰῶνας.

Δίς.

Κλίμαξ νοητὴ Παρθένε χαῖρε, δι' ἧς ὁ παντέλειος κατῆλθέ μοι, καὶ Ἀδὰμ τὸν ἔκπτωτον, πρὸς τὴν πρώτην εὔκλειαν, θεοπρεπῶς ἀνύψωσεν ἀναβοῶντά σοι· σκηνὴ φωτοφανὴς χαῖρε Κόρη, τοῦ παράγοντος, τὰ πάντα ἐκ μὴ ὄντων.

Ὅρμος ἀκλυδώνιστος ἐγένου, τοῦ κόσμου τὸν κυβερνήτην ἀποτέξασα· ὅθεν ἐκ κυμάτων με, ἀπωλείας ἴθυνον, λιμένα πρὸς σωτήριον ἵνα κραυγάζω σοι· ἡ σκέπη καὶ ἀντίληψις χαῖρε, τῶν ὑμνολογούντων, Παρθένε τὴν σὴν δόξαν.

Ρήσεσιν ἑπόμενοι ἐνθέοις, λυχνίαν καὶ τράπεζαν οὐράνιον, ἅρμα πολυώνυμον, κλίνην φωτεινόμορφον, πιστῶς σε ὀνομάζομεν καὶ ἐκβοῶμέν σοι· χαρᾶς χαῖρε ἡμῶν ἡ αἰτία, χαῖρε τὴν ὀδύνην, ἡ παύσασα τῆς Εὔας.

Ἡ μόνη πρὸ τόκου καὶ ἐν τόκῳ, Παρθένος καὶ μετὰ τόκον διαμείνασα, ὡς σαρκὶ γεννήσασα, τὸν ἀπερινόητον, ψυχῶν τὰ ἀρρωστήματα καὶ τῶν σωμάτων ἡμῶν, ἰάτρευσον τῇ θείᾳ σου δόξῃ, ἵνα σοι τὸ χαῖρε, βοῶμεν εὐχαρίστως.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ρύψιν ἐκ παθῶν τῆς ἁμαρτίας, καὶ ἴασιν ταῖς πασχούσαις ψυχαῖς Ἅγιε, ἀθυμίας λύτρωσιν, καὶ βίου σεμνότητος, ἀκτῖνας νέμει πάντοτε ὁ θεῖος λόγος σου, λαμπόμενος φωτὶ οὐρανίῳ, τοῖς προσερχομένοις, αὐτῷ μετ' εὐλαβείας.

Ἄκακος εὐθὺς καὶ πρᾶος ὤφθης, ἐν πάσῃ δικαιοσύνῃ σεμνυνόμενος, Ὅσιε Νικόδημε, καὶ τῆς ὁσιότητος, ἐκφαίνων τὰς λαμπρότητας ἐν τῷ προσώπῳ σου, μειλίχιος ἐφαίνου τοῖς πᾶσιν, ὡς πεπληρωμένος, ἐλλάμψεως τῆς θείας.

Στόματι πανσόφῳ σου τρανώσας, δογμάτων τῶν Ὀρθοδόξων τὴν ἀκρίβειαν, Ὅσιε Νικόδημε, τοὺς ἀπὸ τῆς Λύσεως, ἐλθόντας σοι κατέπληξας καὶ τούτους ἔδειξας, ἀφώνους ἀληθῶς ὡς ἰχθύας, τῷ χειμάρρῳ Πάτερ, τῶν θείων σου ρημάτων.

Θεοτοκίον.

Ἴασαι ψυχήν μου τὴν νοσοῦσαν, τῷ πάθει τῆς ἁμαρτίας καὶ πυρέσσουσαν, λογισμοῖς ἀλάστορσι, καὶ βεβήλοις Πάναγνε, καὶ μετανοίας αὔγασον φῶς τῇ καρδίᾳ σου· πρὸς σὲ γὰρ καταφεύγω ὁ τάλας· μὴ οὖν ὑπερίδῃς, τὴν δέησίν μου Κόρη.

Δεύτερος. Ἑπταπλασίως κάμινον.

Ἐπιφανῶς διέπρεψας, ἐν τῷ Ἄθῳ Νικόδημε, λόγῳ καὶ σοφίᾳ καὶ ζωῆς λαμπρότητι, καὶ τύπος γεγένηται, καὶ ὁδηγὸς σωτήριος, πᾶσι Μονασταῖς, πρὸς ἀρετῶν ἐπιδόσεις, βοῶν ἀδιαλείπτως. Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ρῆμα Θεοῦ ζωσάμενος, ὡς ρομφαίαν οὐράνιον, καὶ ἐνδεδυμένος Πάτερ ὥσπερ θώρακα, τὴν χάριν τοῦ Πνεύματος, τὰς παρατάξεις ἔτρεψας, τῶν αἱρετικῶν, καὶ νοουμένων πνευμάτων, βοῶν ἐν εὐφροσύνῃ· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἁγιασμοῦ θησαύρισμα, καθορᾶται ἡ κάρα σου, θείαν εὐωδίαν Πάτερ ἀποπνέουσα· φιάλαι γὰρ ὤφθησαν, τῶν ἀρωμάτων Ὅσιε, σοῦ αἱ σιαγόνες, ὡς φησὶν ἡ Σοφία, ὀσμὴν ἀθανασίας, καὶ πόμα εὐφροσύνης, τὸ ἐκ τῆς ἀπαθείας, ἡμῖν ἀεὶ κιρνῶσαι.

Θεοτοκίον.

Σωματικῶς κυήσασα, τὸν ἀσώματον Κύριον, τὸν ἐν τοῖς Πατρῴοις κόλποις ἐνυπάρχοντα, Υἱὸν τὸν συνάναρχον, Πατρί τε καὶ τῷ Πνεύματι, ἄνευθεν φθορᾶς, ἀνακαινίζοντα κόσμον, φθαρεῖσαν τὴν ψυχήν μου, σωματικῇ κακίᾳ, ἐγκαίνισον Παρθένε, γνησίᾳ μετανοίᾳ.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ Θ'. Ὁ Εἱρμός.

»Ἅπας γηγενής, σκιρτάτω τῷ Πνεύματι λαμπαδοχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Δίς.

Γέφυρα σὺ εἶ, Πανύμνητε Δέσποινα θεοπαρόδευτος· διὰ σοῦ ὁ Λόγος γάρ, τοὺς ἀπωσμένους ἐπισκεψάμενος, ἐκ τοῦ θανάτου εἵλκυσε ζωὴν πρὸς ἄληκτον, τοὺς βοῶντας· χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Γῆ ἡ καθαρά, ἐξ ἧς ἐμορφώσατο Χριστὸς τὸν ἄνθρωπον, χαίροις Ἀπειρόγαμε, χαῖρε ἡ πέτρα ἡ ἀποστάζουσα, τὸ μέλι τὸ φυσίζωον, τοῖς διαβαίνουσιν, ἐν ἐρήμῳ, τῇ τοῦ βίου Δέσποινα, καὶ τῇ σῇ σωζομένοις χρηστότητι.

Μάννα τῆς ζωῆς, ἡμῖν ἡ ὀμβρίσασα χαῖρε θεόνυμφε, χαῖρε ἡ ζωώσασα, τοὺς νεκρωθέντας γεύσει τοῦ ξύλου ποτέ, χαῖρε Ἐδὲμ τὴν εἴσοδον, ἀναπετάσασα, τοῖς βοῶσι· χαῖρε παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Μήτηρ ἀψευδής, Πανύμνητε γέγονας τοῦ Παντοκράτορος, καὶ παρθένος ἄφθορος, διεφυλάχθης μετὰ τὴν κύησιν· τὶς οὖν τὰ μεγαλεῖά σου ἀνευφημήσει σαφῶς ; ἀλλὰ δέξαι, κἀμοῦ τὸ ἐφύμνιον, ὃ θερμῆς ἐκ καρδίας σοι ὕφανα.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Μύστης ἀκριβής, τοῦ Πνεύματος γέγονας ναὸς λαμπρότητι, Ὅσιε Νικόδημε, καὶ τῶν Πατέρων τῶν πάλαι Ἅγιε, ταῖς μελέταις σου λαμπρὸν ἀπάνθισμα, ἐκ τῶν λόγων, τούτων παραθέμενος, τοῖς πιστοῖς πανεύδη νοήματα.

Ὅλην τὴν ζωήν, τὴν σὴν ὡς θυμίαμα ἀπὸ νεότητος, καὶ θυσίαν ἄμωμον, τῷ Ζωοδότῃ Λόγῳ προσήγαγες, ἀκολουθήσας Ὅσιε αὐτοῦ τοῖς ἴχνεσι· διὰ τοῦτο, σοφίας στεφάνῳ σε, ὁ Χριστὸς ἱερῶς ἐστεφάνωσε.

Ὕμνοις ἱεροῖς, Νικόδημε πάνσοφε πανηγυρίζομεν, τὴν ἁγίαν μνήμην σου, ἁγιαζόμενοι τῇ σῇ χάριτι· ἀλλ' ὡς δῶρον εὐπρόσδεκτον δέχου τὴν αἴνεσιν, ἡμῶν Πάτερ, τῶν θερμῶς φιλούντων σε, ὡς πατέρα ἡμῶν καὶ διδάσκαλον.

Θεοτοκίον.

Ὕψιστον Θεόν, ἀφράστως κυήσασα, δι' ἀγαθότητα, μόνη Παντευλόγητε, τὸν ἐκ τοῦ Ἅδου ἡμᾶς ὑψώσαντα, πεσόντα με εἰς βόθυνον παθῶν ἀνύψωσον, πρὸς ὑψώσεις, βίου καθαρότητος, Θεοτόκε ἡμῶν ἡ βοήθεια.

Δεύτερος Ἐξέστη ἐπὶ τούτῳ.

